

# Τῇ Κυριακῇ τῆς Τυρινῆς Ἑσπέρας

## Τάξις Ἑσπερινοῦ Συγγνώμης

## Μετὰ χοροστατοῦντος Ἀρχιερέως

### Εἴδησις

Ὁ Ἀρχιερεύς, μέλλων νὰ χοροστατήσῃ ἐν τῷ *Ἑσπερινῷ τῆς Συγγνώμης,* προσέρχεται εἰς τὸν Ναὸν κατὰ τὸ τέλος τῆς Ὥρας Θ΄, ἄνευ Μανδύου, φέρων μόνον Ἐπανωκαλύμμαυχον καὶ Ἐγκόπλιον, κρατῶν δὲ Χαζράνιον ἀντὶ ποιμαντικῆς Ῥάβδου, καταλαμβάνει θέσιν εἰς τὸ Παραθρόνιον.

### Ἐν τῷ Ἑσπερινῷ

- **Π**ροοιμιακός. (ὑπὸ τοῦ **Ἀρχιερέως**) (Βλ. **Ἐπίμετρον**)
- «**Κ**ύριε ἐκέκραξα». («ἄνευ ἄλλης στιχολογίας»)
  - Στιχηρὰ κατανυκτικὰ **δ΄** τοῦ τυχόντος ἤχου. (ζήτει ἐν τῷ τέλει τοῦ Τριῳδίου)
  - Τοῦ Τριῳδίου, Προσόμοια ***γ΄*:** «Ἐγκρατείᾳ τὴν σάρκα...», «Ἐμαυτὸν ἀπελπίζω...», «Τὸν τῆς νηστείας καιρόν...».
  - Τοῦ Μηναίου, Προσόμοια ***γ΄*.**
- Δόξα. Καὶ νῦν: Θεοτοκίον. (ἐκ τοῦ Μηναίου)
- **Εἴσοδος.** (μετὰ θυμιατοῦ, διὰ τὸ Μέγα Προκείμενον)
  - **Ἡ Εὐχὴ τῆς Εἰσόδου** ὑπὸ τοῦ **Ἀρχιερέως.** (Βλ. **Ἐπίμετρον**)
- «**Φ**ῶς ἱλαρόν». (ὑπὸ τοῦ **Ἀρχιερέως,** χῦμα ἠρεμαίᾳ φωνῇ) (Βλ. **Ἐπίμετρον**)
- **Μέγα Προκείμενον:** «Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν Σου...». (μετὰ τῶν στίχων αὐτοῦ, ἀργῶς καὶ μετὰ μέλους)
- **Ἐκτενὴς Δέησις.** (πλήρης)
- «**Κ**αταξίωσον, Κύριε». (ὑπὸ τοῦ **Ἀρχιερέως,** χῦμα ἠρεμαίᾳ φωνῇ, «ἐν ᾧ ποιοῦμεν **μετανοίας μικρὰς *γ΄***) (Βλ. **Ἐπίμετρον**)
- **Πληρωτικά.**
- «**Ε**ἰρήνη πᾶσι». (ὑπὸ τοῦ **Ἀρχιερέως**)
- **Κεφαλοκλισία.**
- **Ἀπόστιχα:** (εἰς τοὺς στίχους αὐτῶν)
  - Τὸ Ἰδιόμελον: «Ἔλαμψεν ἡ Χάρις Σου, Κύριε...». (δὶς)

- Τὸ Μαρτυρικόν: «Ὁ ἐνδοξαζόμενος...». (ἅπαξ)
- Δόξα. Καὶ νῦν, Θεοτοκίον: «Τῶν Ἀγγέλων αἱ Τάξεις Σε...».

- «**Ν**ῦν ἀπολύεις». (ὑπὸ τοῦ **Ἀρχιερέως,** χῦμα ἠρεμαίᾳ φωνῇ) (Βλ. **Ἐπίμετρον**)
- **Τρισάγιον.**
- Τὰ Τροπάρια. (ψάλλονται **μόνον** τὰ τρία πρῶτα, ἀνὰ δὲ ἑκάστῳ ποιοῦμεν μίαν **μεγάλην μετάνοιαν,** πλὴν τοῦ τελευταίου)
  - «**Θ**εοτόκε Παρθένε...».
  - «**Β**απτιστὰ τοῦ Χριστοῦ...».
  - Δόξα: «Ἱκετεύσατε ὑπὲρ ἡμῶν...».
  - **Κ**αὶ νῦν: «Ὑπὸ τὴν Σὴν εὐσπλαγχνίαν...». (χῦμα, ὑπὸ τοῦ **Ἀναγνώστου**)
- «**Κ**ύριε, ἐλέησον». (μ΄) (πραείᾳ τῇ φωνῇ)
- Δόξα. Καὶ νῦν. «Τὴν Τιμιωτέραν...». «Ἐν ὀνόματι Κυρίου, Δέσποτα ἅγιε, εὐλόγησον!».
- **Ὁ Ἱερεύς,** ἱστάμενος εἰς τὴν Ὡραίαν Πύλην καὶ ἐστραμμένος πρὸς τὸν Λαόν, ἐκφωνεῖ: **«Ὁ ὢν εὐλογητός, Χριστὸς ὁ Θεὸς ἡμῶν,...».**
- **Ὁ Ἀρχιερεύς,** χῦμα ἠρεμαίᾳ φωνῇ:
  - «Ἐπουράνιε Βασιλεῦ, τοὺς Ἄρχοντας ἡμῶν στερέωσον...». (Βλ. **Ἐπίμετρον**)
- **Ὁ Ἀρχιερεύς,** ἐστραμμένος πρὸς ἀνατολάς, λέγει χῦμα ἠρεμαίᾳ φωνῇ τὴν **Εὐχὴν τοῦ Ἁγίου Ἐφραίμ,** ποιούντων πάντων **ἀνὰ μίαν μεγάλην μετάνοιαν ἐν ἑκάστῳ στίχῳ:**
  - «**Κ**ύριε καὶ Δέσποτα τῆς ζωῆς μου,...». (Βλ. **Ἐπίμετρον**)
- Εἶτα ποιοῦμεν **μετανοίας μικρὰς ιβ′,** λέγοντος τοῦ **Ἱερέως: «Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με!»,** ἐν τέλει δὲ **μίαν μεγάλην μετάνοιαν,** τοῦ **Ἀρχιερέως** ἐπαναλαμβάνοντος τὸν τελευταῖον στίχον τῆς Εὐχῆς: «**Ν**αί, Κύριε Βασιλεῦ, δώρησαί μοι τοῦ ὁρᾶν...».
- **Ὁ Ἱερεύς: «**Δόξα Σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα Σοι!».
- **Ὁ Ἀναγνώστης:** Δόξα. **Καὶ** νῦν. «**Κ**ύριε, ἐλεήσον» γ΄. «**Δ**έσποτα ἅγιε, εὐλόγησον!».
- **Μ**εγάλη Ἀπόλυσις. (ὑπὸ τοῦ **Ἱερέως, ἄνευ τοῦ «Δι' εὐχῶν»,** τοῦ **Ἀρχιερέως** εὐλογοῦντος διὰ τοῦ Σταυροῦ)
- **Ὁ Ἀρχιερεὺς** ἀπευθύνει λόγους τινὰς οἰκοδομητικοὺς πρὸς Κλῆρον καὶ Λαόν.
- **Ὁ Ἀρχιερεὺς** ἀναγινώσκει **δύο Εὐχάς,** προηγουμένου τοῦ διακονικοῦ κελεύσματος: «**Τ**οῦ Κυρίου, δεηθῶμεν!», «**Τ**ὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν».
  - **Ε**ὐχὴ εἰς Ἀγάπην καὶ Εἰρήνην. } (Βλ. **Ἐπίμετρον**)
  - **Ε**ὐχὴ ὑπὲρ ἀφέσεως ἁμαρτιῶν. }

- Ἐν τέλει, ὁ **Χορὸς β΄** ψάλλει τὸ Θεοτοκίον ἀργῶς:
  - «**Π**άντων προστατεύεις, Ἀγαθή...».
- **Ψ**αλλομένου τούτου, ἅπαντες ποιοῦσι μεγάλην μετάνοιαν μεταξὺ ἀλλήλων, **«κλίνοντες τὰς κεφαλὰς μέχρις ἐδάφους»**, ἀλληλοασπαζόμενοι καὶ ζητοῦντες συγχώρησιν, ἐν συνεχείᾳ δὲ προσέρχονται τῷ Ἀρχιερεῖ καὶ ἀσπάζονται τὸν Σταυρὸν καὶ τὴν δεξιὰν αὐτοῦ χεῖρα, λαμβάνοντες συγχώρησιν.
- «**Δ**ι᾽ εὐχῶν...». (ὑπὸ τοῦ **Ἀρχιερέως**)

## Ἐπίμετρον

### Προοιμιακός.

**Δ**εῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

**Δ**εῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν Χριστῷ τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

**Δ**εῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν αὐτῷ Χριστῷ τῷ Βασιλεῖ καὶ Θεῷ ἡμῶν.

Ψαλμὸς ργ΄ (103)

**Ε**ὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.

**Ἐ**ξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

**Ἐ**κτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα Αὐτοῦ.

**Ὁ** τιθεὶς νέφη τὴν ἐπίβασιν Αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

**Ὁ** ποιῶν τοὺς ἀγγέλους Αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς Αὐτοῦ πυρὸς φλόγα.

**Ὁ** θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

**Ἄ**βυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

**Ἀ**πὸ ἐπιτιμήσεώς Σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς Σου δειλιάσουσιν.

**Ἀ**ναβαίνουσιν ὄρη καὶ καταβαίνουσι πεδία, εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά.

**Ὅ**ριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

**Ὁ** ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀνὰ μέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

**Π**οτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

**Ἐ**π᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

**Π**οτίζων ὄρη ἐκ τῶν ὑπερῴων Αὐτοῦ· ἀπὸ καρποῦ τῶν ἔργων Σου χορτασθήσεται ἡ γῆ.

**Ὁ** ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.

**Τ**οῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς· καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.

**Τ**οῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ· καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

**Χ**ορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.

**Ἐ**κεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ οἰκία ἡγεῖται αὐτῶν.

**Ὄ**ρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς.

**Ἐ**ποίησε σελήνην εἰς καιρούς, ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

**Ἔ**θου σκότος καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

**Σ**κύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.

**Ἀ**νέτειλεν ὁ ἥλιος καὶ συνήχθησαν καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.

**Ἐ**ξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

**Ὡ**ς ἐμεγαλύνθη τὰ ἔργα Σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς Σου.

**Α**ὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.

**Ἐ**κεῖ πλοῖα διαπορεύονται· δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.

**Π**άντα πρὸς Σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον· δόντος Σου αὐτοῖς, συλλέξουσιν.

**Ἀ**νοίξαντός Σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος. Ἀποστρέψαντος δέ Σου τὸ πρόσωπον, ταραχθήσονται.

**Ἀ**ντανελεῖς τὸ πνεῦμα αὐτῶν καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

**Ἐ**ξαποστελεῖς τὸ πνεῦμά Σου καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

**Ἤ**τω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας· εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις Αὐτοῦ.

**Ὁ** ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται.

**ᾌ**σω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

**Ἡ**δυνθείη Αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.

**Ἐ**κλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς.

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν·

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ· ἔθου σκότος καὶ ἐγένετο νύξ.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα Σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα. Δόξα Σοι, ὁ Θεός. (γ΄)
Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα Σοι.

* * *

## Εὐχὴ τῆς Εἰσόδου

Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας, αἰνοῦμεν, εὐλογοῦμεν, εὐχαριστοῦμεν καὶ δεόμεθά Σου, Δέσποτα τῶν ἁπάντων, φιλάνθρωπε, Κύριε· κατεύθυνον τὴν προσευχὴν ἡμῶν, ὡς θυμίαμα ἐνώπιόν Σου, καὶ μὴ ἐκκλίνῃς τὰς καρδίας ἡμῶν εἰς λόγους, ἢ εἰς λογισμοὺς πονηρίας, ἀλλὰ ῥῦσαι ἡμᾶς ἐκ πάντων τῶν θηρευόντων τὰς ψυχὰς ἡμῶν· ὅτι πρὸς Σέ, Κύριε, Κύριε, οἱ ὀφθαλμοὶ ἡμῶν, καὶ ἐπὶ Σοὶ ἠλπίσαμεν· μὴ καταισχύνῃς ἡμᾶς, ὁ Θεὸς ἡμῶν.

Ὅτι πρέπει Σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* * *

## Ἐπιλύχνιος Εὐχαριστία

Φῶς ἱλαρὸν ἁγίας δόξης, ἀθανάτου Πατρός, οὐρανίου, ἁγίου, μάκαρος, Ἰησοῦ Χριστέ·

Ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, ἰδόντες φῶς ἑσπερινόν, ὑμνοῦμεν Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα, Θεόν.

Ἄξιόν Σε πᾶσι καιροῖς, ὑμνεῖσθαι φωναῖς αἰσίαις, Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς· διὸ ὁ κόσμος Σὲ δοξάζει.

* * *

## Καταξίωσον, Κύριε

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά Σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός Σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ Σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά Σου.

Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά Σου.

Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί Σου.

Κύριε, τὸ Ἔλεός Σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν Σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, Σοὶ πρέπει ὕμνος, Σοὶ δόξα πρέπει, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

* * *

## Ὠδὴ Συμεὼν τοῦ Θεοδόχου

Νῦν ἀπολύεις τὸν δοῦλόν Σου, Δέσποτα, κατὰ τὸ ῥῆμά Σου, ἐν εἰρήνῃ·

Ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν Σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν·

Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ Σου Ἰσραήλ.

* * *

## Ἐπουράνιε Βασιλεῦ

Ἐπουράνιε Βασιλεῦ, τοὺς Ἄρχοντας ἡμῶν στερέωσον· τὴν Πίστιν στήριξον· τὰ ἔθνη πράϋνον· τὸν κόσμον εἰρήνευσον· τὴν ἁγίαν Ἐκκλησίαν καὶ Μονὴν ταύτην καλῶς διαφύλαξον· τοὺς προαπελθόντας πατέρας καὶ ἀδελφοὺς ἡμῶν ἐν σκηναῖς Δικαίων τάξον· καὶ ἡμᾶς ἐν μετανοίᾳ καὶ ἐξομολογήσει παράλαβε, ὡς Ἀγαθὸς καὶ Φιλάνθρωπος.

* * *

## Εὐχὴ τοῦ Ἁγίου Ἐφραὶμ

Κύριε καὶ Δέσποτα τῆς ζωῆς μου· πνεῦμα ἀργίας, περιεργείας, φιλαρχίας, καὶ ἀργολογίας, μή μοι δῷς.

Πνεῦμα δὲ σωφροσύνης, ταπεινοφροσύνης, ὑπομονῆς καὶ ἀγάπης, χάρισαί μοι τῷ Σῷ δούλῳ.

Ναί, Κύριε Βασιλεῦ, δώρησαί μοι τοῦ ὁρᾶν τὰ ἐμὰ πταίσματα, καὶ μὴ κατακρίνειν τὸν ἀδελφόν μου, ὅτι εὐλογητὸς εἶ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* * *

## Εὐχὴ Α΄.

## Εἰς Ἀγάπην καὶ Εἰρήνην

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῆς ἀγάπης φυτουργός, καὶ τῆς εἰρήνης βραβευτής, καὶ τῆς ὁμονοίας δοτήρ· δώρησαι ἡμῖν τὴν ἀγάπην Σου, τὸ πλήρωμα τοῦ Νόμου Σου· δὸς ἡμῖν τὸ αὐτὸ φρονεῖν κατὰ Χριστὸν Ἰησοῦν· χάρισαι ἡμῖν προσλαμβάνεσθαι ἀλλήλους ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Μονογενής Σου Υἱὸς προσελάβετο ἡμᾶς· δὸς ἡμῖν ἀλλήλων τὰ βάρη βαστάζειν, καὶ μετ᾽ εὐνοίας δουλεύειν ἀλλήλοις, καὶ ἀναπληροῦν τὸν Νόμον τοῦ Χριστοῦ Σου, μετὰ πάσης προθυμίας, λυτρούμενος μυρίων κακῶν, ἀπὸ πάσης ἐπιβουλῆς καὶ ἐνεργείας τοῦ πονηροῦ.

Ὅτι Σὺ Θεὸς εἰρήνης, ὁμονοίας καὶ οἰκτιρμῶν ὑπάρχεις, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* * *

## Εὐχὴ Β΄.

## Ὑπὲρ ἀφέσεως ἁμαρτιῶν

Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ πηγάσας ἁμαρτωλοῖς σωτηρίαν τῷ Πάθει Σου, τρόπαιον κατὰ τοῦ διαβόλου τὸν Σταυρόν Σου ἀναδείξας· ὁ εἰπών· Θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον, νίκησον καὶ ἐν ἡμῖν πᾶσαν ἁμαρτίαν, Φιλάνθρωπε, καὶ ἀπέλασον ἀφ᾽ ἡμῶν πάντα λογισμὸν ἐναντίον τῶν προσταγμάτων Σου· καὶ ἄγαγε ἡμᾶς εἰς μετάμελον, ὧν ἡμάρτομεν, Ἀγαθέ· πρεσβείαις τῆς Ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων Σου.

Ὅτι μόνος Σὺ εὐλογημένος ὑπάρχεις, καὶ Σοὶ πρέπει ἡ δόξα, σὺν τῷ ἀνάρχῳ Σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

(*) Αἱ *Εὐχαὶ Α΄ καὶ Β΄,* ἐκ τοῦ *Εὐχολογίου Α΄ - Ἁγιασματάριον,* ἐκδ. Ἱερᾶς Μονῆς Σίμωνος Πέτρας, Ἅγιον Ὄρος - 2001, σελ. 194 καὶ 258, μέ τινας μικροεπεμβάσεις.

17η Ἰανουαρίου 2023 ἐκ. ἡμ.
*† Μνήμη τοῦ Ὁσίου Ἀντωνίου τοῦ Μεγάλου*
*† ὁ Ὠ. κ` Φ. Κ.*

✝

*Τῷ δὲ Θεῷ δόξα καὶ εὐχαριστία!*